| | | |
|---|---|---|
| Δᾳδάς τε φέρειν, καὶ πάντα λεὼν συγχαίρειν κα- | A | *Et ferre faces, & populum omnem gaudere,* |
| πικελεύειν | | *deinde iubere.* |
| Καὶ τὰ σκεύη πάλιν ἐς τὸν ἀγρὸν νῦν χρὴ πάντα | | *Nunc omnia vasa iterum portanda in agros, o-* |
| κομίζειν. | | *mnisq́ supellex,* |
| Ὀρχησαμένους, καὶ σπείσαντας καὶ Ὑπέρβολον | | *Postquam saltatum & libatum est, & Hyperbo-* |
| ἐξελάσαντας. | | *lus hinc procul actus.* |
| Κἀπευξαμένους τοῖσι θεοῖς | | *Postquam & superis vota tetulimus,* |
| Διδόναι πλοῦτον τοῖς Ἕλλησι. | | *Opibus Græcos vt fœlicitent,* |
| Κριθάς τε ποιεῖν ἡμᾶς πολλὰς | B | *Vt multa ordea suppetant* |
| Πάντας ὁμοίως, οἶνόν τε πολὺν | | *Pariter nobis, vino & ficubus* |
| Σῦκά τε τρώγειν. | | *Annus abundet:* |
| Τάς τε γυναῖκας τίκτειν ἡμῖν. | | *Etiam nobis pariant fœminæ,* |
| Καὶ τἀγαθὰ πάνθ' ὅσ' ἀπωλέσαμεν, | | *Quæcunque etiam bona perdidimus* |
| Συλλέξασθαι πάλιν ἐξ ἀρχῆς. | | *Collecta omnia nunc reparentur,* |
| Λῆξαι δ' αἴθωνα σίδηρον. | | *Et vis ferri fera cesset.* |
| Δεῦρ' ὦ γύναι εἰς ἀγρόν. | | *Heus tu mulier veni,* |
| Χ' ὅπως μετ' ἐμοῦ καλὴ | | *Cura pueram meo* |
| Καλῶς κατακείσει. | | *Toro accubituram.* |
| Ὑμὴν Ὑμέναι' ὦ Ὑμὴν Ὑμέναι' ὦ. | C | *Hymen Hymenæe ô Hymen Hymenæe.* |
| Ὦ τρισμάκαρ ὡς δικαίως | | *O te quater ô beatum* |
| Τἀγαθὰ νῦν ἔχεις. | | *Et meritum hæc bona,* |
| Ὑμὴν Ὑμέναι' ὦ | | *Hymen Hymenæe ô* |
| Ὑμὴν Ὑμέναι' ὦ | | *Hymen Hymenæe.* |
| Τί δράσομεν αὐτήν; | | *Quid ei faciemus?* |
| Τί δράσομεν αὐτήν; | | *Quid ei faciemus?* |
| Τρυγήσομεν αὐτήν. | | *Eam ergo metemus?* |
| Τρυγήσομεν αὐτήν. | D | *Eam ergo metemus?* |
| Ἀλλ' ἀράμενοι φέρωμεν, | | *Nos altum agite ô feramus,* |
| Οἱ προτεταγμένοι οἱ χορευταὶ ἀναλαβόντες | | *Quorum ista munia ludij Chorici, agite ergo* |
| Τὸν νυμφίον ὦ 'νδρες. | | *sponsum accipiamus.* |
| Ὑμὴν Ὑμέναι' ὦ Ὑμὴν Ὑμέναι' ὦ. | | *Hymen Hymenæe ô Hymen Hymenæe,* |
| Οἰκήσετε γοῦν καλῶς, | | *Securi habitabitis* |
| Οὐ πράγματ' ἔχοντες, | | *Turbisq́ carentes,* |
| Ἀλλὰ συκολογοῦντες | | *Atq́ ficulegentes.* |
| Ὑμὴν Ὑμέναι' ὦ Ὑμὴν Ὑμέναι' ὦ | E | *Hymen Hymenæe ô Hymen Hymenæe.* |
| Τοῦ μὲν μέγα καὶ παχύ, | | *Ingentem habet hic quidem* |
| Τῆς δ' ἡδὺ τὸ σῦκον. | | *Ficum, illa suauem.* |
| Φήσεις γοῦν ὅταν ἐσθίῃς, | | *Ac dices vbi sumpseris* |
| Οἶνόν τε πίῃς πολὺν | | *Multumq́ meri hauseris,* |
| Ὑμὴν Ὑμέναι' ὦ Ὑμὴν Ὑμέναι' ὦ. | | *Hymen Hymenæe ô Hymen Hymenæe.* |
| Λείπει. | | Desunt quædam. |
| Πλακοῦντας ἔσθετε. | F | *Vorate placentas.* |

BIS. Βρύκετ'] βρύκειν τὸ τραχέως, καὶ μετὰ ἤχου ποιοῦ ἐσθίειν. ὁ αὐτὸς Εὐστάθιος. Ὑπέρβολον] περὶ δημαγωγὸς τῶν Ἀθηναίων, ὃν ὁ Θουκυδίδης ἐν τῇ η. ἐξωστρακίσθαι λέγει.

CH. Πρὸς ταῦτα βρύκετ'] Etiā βρύκειν est λάβρως ἐσθίειν. vsus est Hipponax, καὶ λάγως καταβρύκων. Κἀπευξαμένοις] Anapæstici sunt. Propterea legerem εὐξαμένους, sine præpositione ἐπί. Ὦ τρισμάκαρ.] Puto hic chorum loqui, quia mox ait ἀναλαβόντες τὸν νυμφίον, vel quia dicitur τρυγήσομεν αὐτήν, quæ etsi abesse à quibusdā exemplarib. Scholia testētur Græca, tamen lepida sunt, & ad nomen Trygæi ipsius adludunt, qui ὀπώραν τρυγήσει. Nam ὀπώρα etsi fructus omnes molliores comprehendit, tamē pro racemis præcipuè accipitur. Et sic apud Philostratum in Imaginibus, apud quem titulo ξενίων non paruum erit pretium operæ studiosis, ficuum cōmendationem & dignitatē legendo agnoscere.

G Σχ. Τρυγήσομεν αὐτήν] ἔντισιν οὐ φέρεται δύο ταῦτα μέτρα.

BIS. Τρυγᾶν νῦν μεταφορικῶς λέγεται, ἀντὶ τοῦ ἀπολαύειν. Συκολογοῦντες] συκολογεῖν κυρίως τὸ τὰ σῦκα συλλέγειν. ἢ περὶ σύκων λόγους ποιεῖσθαι. ἀλλ' ἐνταῦθα ὁ ποιητὴς κωμικῶς, ὡς εἴωθε, τῇδε τῇ λέξει παίζων ἐχρήσατο, συνουσίαν αἰνίττεσθαι βουλόμενος. καὶ γὰρ διὰ τούτων, τὸ μὲν μέγα καὶ παχύ, τὸ τοῦ νυμφίου πέος νοεῖ. σῦκον δὲ καλεῖ τὸ τῆς νύμφης αἰδοῖον.

CH. Τοῦ μὲν μέγα καὶ παχύ] Nō obscurū quid sibi velit, quāuis res in obscuro sitę sint. Et sanè nequitiæ plenus est hic locus: Neque frustra hortorum illę